τοὐναντίον οὖν ἔοικεν ἡ καλουμένη πολυφιλία ⟨τῇ φιλίᾳ⟩
ποιεῖν. ἡ μὲν γὰρ συνάγει καὶ συνίστησι καὶ συνέχει κατα-
πυκνοῦσα ταῖς ὁμιλίαις καὶ φιλοφροσύναις

'ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐγόμφωσεν καὶ ἔδησε'

κατ' Ἐμπεδοκλέα (fr. 33) (τοιαύτην γὰρ ἡ φιλία βούλεται ποιεῖν
ἑνότητα καὶ σύμπηξιν), ἡ δὲ πολυφιλία διίστησι καὶ ἀποσπᾷ B
καὶ ἀποστρέφει, τῷ μετακαλεῖν καὶ μεταφέρειν ἄλλοτε πρὸς
ἄλλον οὐκ ἐῶσα κρᾶσιν οὐδὲ κόλλησιν εὐνοίας ἐν τῇ συνηθείᾳ
περιχυθείσῃ καὶ παγείσῃ γενέσθαι.

Τοῦτο δ' εὐθὺς ὑποβάλλει καὶ τὴν περὶ τὰς ὑπουργίας
ἀνωμαλίαν καὶ δυσωπίαν· τὰ γὰρ εὔχρηστα τῆς φιλίας δύσχρη-
στα γίγνεται διὰ τὴν πολυφιλίαν.

'ἄλλον τρόπον ἄλλον ἐγείρει φροντὶς ἀνθρώπων'·
(Fr. Lyr. ad. 99)

οὔτε γὰρ αἱ φύσεις ἡμῶν ἐπὶ ταὐτὰ ταῖς ὁρμαῖς ῥέπουσιν,
οὔτε τύχαις ὁμοτρόποις ἀεὶ σύνεσμεν· οἵ τε τῶν πράξεων και-
ροὶ καθάπερ τὰ πνεύματα τοὺς μὲν φέρουσι τοῖς δ' ἀντιπίπτουσι.
(6.) καίτοι κἂν πάντες ἅμα τῶν αὐτῶν οἱ φίλοι δέωνται, χα- C
λεπὸν ἐξαρκέσαι πᾶσι βουλευομένοις ἢ πολιτευομένοις ἢ φιλο-
τιμουμένοις ἢ ὑποδεχομένοις. ἂν δ' ἑνὶ καιρῷ διαφόροις πράγ-
μασι καὶ πάθεσι προστυγχάνοντες ὁμοῦ παρακαλῶσιν ὁ μὲν
πλέων συναποδημεῖν, ὁ δὲ κρινόμενος συνδικεῖν, ὁ δὲ κρίνων
συνδικάζειν, ὁ δὲ πιπράσκων ἢ ἀγοράζων συνδιοικεῖν, ὁ δὲ
γαμῶν συνθύειν, ὁ δὲ θάπτων συμπενθεῖν,

'πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμῃ,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων' (Soph. O. R. 4),

ἡ πολυφιλία, πᾶσι μὲν ἀμήχανον παρεῖναι, μηδενὶ δ' ἄτοπον,
ἑνὶ δ' ὑπουργοῦντα προσκρούειν πολλοῖς ἀνιαρόν· D